148. ΠΕϹϹΟΝ Δ ΑΧ ΚΑΙ ΓΡΑΜΜΑΤΑ. οὐκ ἄκαιρος τοῦτο διττολογία ἐστὶν, ὥς τις ἄπειρος ἐντοριχῆς ὑποτοπάσειε, διὰ τὸ [71] ἀνώτως εἰπεῖν με,

ξ u. 97.
ὃς σοφίῃ ἐκέκαστο, γράμματα δ' εὗρε βροτοῖσι,

καὶ νῦν πάλιν λέγειν με,

πεσσοὺς δ' αὖ, καὶ γράμματα —

Vox tamen δεύτερον male videtur addita, quae, etiamsi sensu excusari possit, ἀμφιβολίαν gignit.

ἀλλὰ τὸ μὲν [71] ἀνώτως ῥηθὲν προκατάστασις ἦν, κεφαλαιωδῶς τὰς εὑρέσεις τῶν τεχνῶν τοῦ ἀνδρὸς διηγουμένη, νῦν δὲ εὐκρινῶς ἐν τῷ ἀκεφ τόπῳ ποιούμεθα τὴν ἔκθεσιν τούτων.

68. clarum est; μικρὸν legendum. Ionicum genitivum ~~est~~ εος fieri, dudum probavit H. Steph. paralip. Gr. pp. 35, & 13[?] ... νῶς tamen διὰ τοῦ εος, διὰ δὲ τοῦ εως ἀττικῶς fieri ... nitivos cum Gramaticis plerisque ait Eustathius ad ... CCCLXXXVI, p. 64. 69. malim τὰ δὲ — 70. Lege, ἠρό... δὲ ὁ π. 71. Ἴσ. ἀνωτέρω, nisi sit neograecum.

αὐτὰρ ἐπεὶ ἀπὸ μυσῶν ἐς κλισίας κατέβησαν,
τηλέφῳ ἠδὲ καὶ ἄλλοις σπεισάμενοι βασιλεῦσιν,
ἐξ [?] ὀρέων λύκοι ἐς κλισίας κατέβαινον ἀχαιῶν,
δμῶας ἀναρπάζοντες ἰδ' οὐρέας, αὐτὰρ ὀδυσσεὺς
ᾧ θυμῷ ποθέων παλαμήδεϊ ἀντιφερίζειν,
μακρὰ βοῶν, ἀνέβαινε παρ' οὔρεα, θῆρας ἐρύξων,
τοξοφόρους πολέας κούρους φορέων παναχαιῶν,
νήπιος: οὐδ' ἐνόησε τὸ σῆμα πέλον λοιμοῖο.
τοὺς δὲ ἰδὼν παλαμήδης, μειδιόων προσέειπεν.
ὦ ὀδυσεῦ πολύβουλε, σὺν ἀνδράσι τοξοφόροισι,
τίπτε λύκοισι μάχην παναφραδέα τήνδε φορεῖτε
οὐ νῦ λύκοι χέτλιοι παρὰ οὔρεσι καὶ πάρος ἦσαν,
ἀλλά τις αὐτῶν ἀργείοις δηλήσατο προόαθε,
λοιμοῦ σῆμα τόδ' ἐστιν, ἐᾶτε δὲ τόξα, καὶ ἰοὺς,
ἐν λαχάνων βελέεσσι δ' ἐρύκετε λοιμοῦ ἐρωὴν,
μηδὲ κρεῶν γεύεσθε, καὶ εἰς ἅλα βαίνετε πάντες,
[71] ὣς ἔφαθ', οἱ δέ τε πάντες ἐποίεον, ὡς ἐκέλευεν:
μοῦνος δ' αὖ ὀδυσεὺς ἐν ἐπεσβολίῃσιν ἄλιξεν.
λοιμοῦ δ' αὐτίκ' ἐπεισφρήσαντος ἐπ' ἄστεα τρώων,
αὐτοὶ ἀσινέες ἐκ κακοῦ πέφυγον οἷοι ἀπ' ἄλλων,
καὶ τότε δὴ παλαμήδην, ὡς θεὸν, ἦσαν ἄγοντες.
αὐτὰρ ὁ ἐχθρὸς ἀνὴρ [72] οἱ ἐμήδετο κῆρα μέλαιναν,